A

ΑΝΤΙΣΤΡΟΦΗ κώ-
λων ια'.

Πολὺ δὴ πολὺ δὴ χαλεπωτάτοις λό-
γοις
Ηνεγκας αἴθ' ἑταῖρ', ὡς
Εδάκρυσά γ' ἐμῶν
Πατέρων κάκιω, οἳ
Τάσδε τὰς τιμὰς προγόνων παραδόντων,
Επ' ἐμοῦ κατέλυσαν.
Σὺ δέ μοι κατὰ δαίμονα καὶ
Συντυχίαν ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ.
Αναθεὶς γὰρ ἐγώ σοι
Τὰ νεόττια κἀμαυτὸν οἰκήσω δή.
Αλλὰ τί χρὴ δρᾶν, σὺ δίδασκε παρών. ὡς ζῆν
οὐκ ἄξιον ἡμῖν,
Εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν
βασιλείαν.

INVERSIO MEMBRO-
rum vndecim.

*Multum iam, multum iam difficillimos
sermones*
*Portasti homo, valde*
B *Lachrymaui meorum*
*Patrum timiditatem, qui*
*Hos honores progenitorum præbentium*
*In me destruxerunt.*
*Tu autem mihi secundum fortunam &*
*Conuersationem bonam venis mihi saluator:*
*Dedicans enim ego tibi*
*Pullos & me ipsum, habitabo iam.*
C *Sed quid oportet facere, tu doce præsens, quòd
viuere non dignum nobis,*
*Nisi capiamus omni modo nostram domina-
tionem.*

Σχόλια. Πολὺ δή.] ἔκθεσις μέλους χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς. ἔστι δὲ καὶ ἀντίστροφος τῆς προρρηθείσης στροφῆς διὰ τὸ καὶ αὐτὴν ἐκ κώλων συγκεῖσθαι καὶ στίχων ἀσυναρτήτων ἐννέα, ὁμοίων ἐκείνῃ. ἔχει δὲ καὶ ἐν ἐκθέσει τοὺς συνήθεις δύο στίχους ἀναπαιστικοὺς ὁμοίους τοῖς ἑξῆς ξα', διπλῆ ἔξω νενευκυῖα περατουμένους. D ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Χαλεπωτάτους λόγους.] λυπηροὺς χαλέψαι δυναμένους. Εμῶν πατέρων.] ἐρεθισθέντες ὑπὸ τῶν πρεσβυτῶν καταβοῶσι τῶν πατέρων ὡς ἀπολεσάντων τὴν βασιλείαν. Επ' ἐμοῦ.] εἰς ὅσον αὐτοὺς ἐγὼ χρόνον διεδεχόμην. Τὰ νεόττια] ὡς εἰ εἶπεν ἀνατίθημί σοι ἐμαυτὸν ὥστε διοικεῖν. ταῦτα δὲ εἰώθασι πρὸς τοὺς εὐήθεις τῶν ἀνθρώπων λέγειν.

Bisetvs. Πεισθέταιρος διδάσκει πόσον ἔσται τὸ τῶν ὀρνίθων ἀξίωμα, καὶ δόξα, εἰ πόλιν ἐν ἀέρι καλῶς περιτειχισθεῖσαν οἰκοδομῶσι.

Πι. Καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν
ὀρνίθων πόλιν εἶναι,
Κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
Περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς, ὥσπερ
Βαβυλῶνα.
Επ. Ω Κεβριόνα, καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.
Πι. Κἄπειτ' ἂν τοῦτ' ἐπανασταίη τὴν ἀρχὴν τὸν
Δί' ἀπαιτεῖν.
Κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ, μηδ' εὐθὺς
γνωσιμαχήσῃ,
Ιερὸν πόλεμον προφυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν
ἀπειπεῖν
Διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν.
Ωσπερ πρότερον μοιχεύσοντες τὰς Αλκμήνας
κατέβαινον.

Pi. *Etiam igitur primùm doceo vnã auium
ciuitatem esse.*
E *Et postea aërem omnem in circuitu, & omne
hoc in medio*
*Circummurare magnis lateribus coctis tãquam
Babylona.*
Ep. *O Cebriona & Porphyrio, valde terribilem
ciuitatem.*
Pi. *Et postea si hoc instat, dominationẽ Iouem
petere,*
F *Et si quidem non sinat, neque velit, neque sta-
tim sciat bellare.*
*Sacrum bellum proclamare ipsi & deis negare,*
*Per locum nostrum stantibus non deambu-
lare,*
*Sicut prius adulterantes Alcmenas descende-
runt,*

Σχόλ. Πλίνθοις ὀπταῖς.] φασὶ γὰρ τὴν Βαβυλῶνα, ἀπὸ ὀπτῶν πλίνθων οἰκοδομηθῆναι. καὶ ἀντὶ γύψου ἀσφάλτῳ συνδεθῆναι τὰς πλίνθους. ἡ Σεμίραμις δὲ ἔκτισε τὴν Βαβυλῶνα. Ω κεβριόνα.] ὀρνεόν τί φησι τὸν κεβριόνην. ἔπαιξε δέ. ὡσεὶ ἔλεγεν, ὦ θεοὶ σμερδαλέον τὸ πόλισμα. ἐπιτηδείως δὲ τὸν πορφυρίωνα παρέλαβεν. καὶ ὅτι ὄρνις καὶ ὅτι εἷς τῶν γιγάντων ὅμοιος τῷ Κεβριόνῃ, ὃν ἐχειρώσατο ἡ Αφροδίτη. ἐπιτηδὲς οὖν τῶν θεομάχων ἐμνήσθη. ἐπεὶ καὶ αὐτοὶ θεομαχήσουσιν. Γνωσιμαχήσῃ.] γνωσιμαχῆσαι ἐστὶ τὸ, γνόντα ὅτι πρὸς κρείττονας αὐτῷ ἡ μάχη, G ἡσυχάσαι. Ιερὸν πόλεμον.] ἱερὸς πόλεμος, ἐγένετο Αθηναίοις πρὸς Βοιωτοὺς βουλομένοις ἀφελέσθαι Φωκέων τὸ μαντεῖον. νικήσαντες δὲ, Φωκεῦσι πάλιν ἀπέδωκαν. ὡς Φιλόχορος ἐν τῇ τετάρτῃ. δύο δὲ πόλεμοι γεγόνασιν. ὁ τότε. καὶ ὁπότε Φωκεῦσιν ἐπέθεντο Λακεδαιμόνιοι. ἐν ἐνίοις δὲ τῶν ὑπομνημάτων ταῦτα λέγεται. ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἔσοιτο. ἅμα δὲ τοῦ ἱεροῦ πολέμου